ἐ]π̣ά̣γουσι, κἀν ταῖς σφογγιαῖς ἐλάιδια
οἰ]ν̣όμ̣ελί τ' ἐκφέρουσι καὶ κακὰς τύχας
α̣τ̣[..].αβουσι τ̣ίμ̣ι̣' ἐστὶ τοῦ λαβεῖν.
(Β.) σὺ δὲ δὴ τί, πρὸς τῆς Ἑστίας;
(Λιβ.) ἑνὸς δύο
ἀμέλει [

(b)

(Γ.) νόμιζε α̣λ̣...δ.. τρέχειν Ὀλύμπια·
ἐὰν διαφύγηις εὐτυχὴς ἄνθρωπος εἶ.
(Δ.) ὦ Ἡράκλεις, τί ποτ' ἐστὶ τὸ γεγενημένον;

(ΣΤΡΟΒΙΛΟΣ)
νῦν οἶδ' ἀκριβῶς διότι τῆς οἰκουμένης
ἱερὰ σαφῶς αὕτη 'στιν ἡ χώρα μόνη
κἀνθάδε κατῳκήκασι πάντες οἱ θεοί,
καὶ νῦν ἔτ' εἰσὶ καὶ γεγόνασιν ἐνθάδε.
(Δ.) Στρόβιλε.
(Στρ.) Ἄπολλον καὶ θεοί, τοῦ πνεύματος.
(Δ.) παῖ δυστυχές, Στρόβιλε.
(Στρ.) τίς κέκληκέ με;
(Δ.) ἐγώ.
(Στρ.) σὺ δ' εἶ τίς; ὦ κράτιστε τῶν θ̣[εῶ]ν̣
ὡς εἰς καλόν σ' ἑόρακα.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41693384X/346 UNIVERSITÄT LEIPZIG